# ΠΡΩΤΕΣΙΛΑΟΣ

Φλαυΐου Φιλοστράτου
Ἡρωϊκοὶ Λόγοι

- - - -

Ἀμπελουργός. ... Τολμῶν ... οὐ ξυμβάλλω ἐμπόροις, οὐδὲ τῆς δραχμῆς ὅ,τι ἐστὶ γινώσκω, ἀλλὰ βοῦν σίτου, καὶ οἴνου τράγον, καὶ τοιαῦτα τοιούτων, ἢ ὠνοῦμαι, ἢ αὐτὸς ἀποδίδωμι, σμικρὰ εἰπών τε καὶ ἀκούσας.

Φοῖνιξ. Χρυσοῦν ἀγαθὸν λέγεις, Ἀμπελουργέ, ἡρώων μᾶλλον ἢ ἀνθρώπων. ἀλλὰ ὁ κῆπος οὗτος τί ἐθέλει; περίκειται γάρ γε προσκυνούμενος τοῖς ποσί, ἢ παρέχων τοῖς ἁπαλόν τε | ἱερόν.

Ἀμπελουργός. Τολμῶν ἦθος ἐρωτικὸν σοι ξένε, καὶ ὅτι πρός τους δεῦρο ἀφικνουμένους οὕτω κέκραται καὶ χρηστῶς ἔχειν ὡς μηδὲ τῷ κυνὶ συγχωρεῖν ὑλακτεῖν αὐτούς, ἀλλὰ προσδέχεσθαί τε καὶ ὑποπίπτειν ἥκοντας.

Φοῖνιξ. Ἔχουσιν οἶνον ἄμπελοι προσβάλλειν;

Ἀ. Φθόνος οὐδείς. Κεῖνται γὰρ ἤδη ἱκανοὶ βότρυς.

Φ. Τί δὲ συκάσαι;

Ἀ. Καὶ τοῦτο ἔξεστι· περίεστι γὰρ καὶ σύκων. καὶ κάρυα δοίην, καὶ μῆλα δοίην, καὶ ἄλλα ἀγαθὰ ἕτερα· φυτεύω δὲ αὐτά, οἷον παραλήματα τῶν ἀμπέλων.

Φοῖνιξ. Τί ἂν οὖν μεταβάλλοιμι;

Ἀμπελουργός. Τί ἄλλο γε, ἢ φαγεῖν τε ἐθέλεις, καὶ ἐπαινέσασθαι, καὶ ἀπελθεῖν χαίρων.

Φοῖνιξ. Ἀλλ᾽ ἦ φιλοσοφεῖς, Ἀμπελουργέ;

Ἀμπελουργός. Καὶ σύν γε τῷ καλῷ Πρωτεσιλάῳ.

Φοῖνιξ. Σοὶ δὲ τί καὶ τῷ Πρωτεσιλάῳ κοινόν ...

Ἀμπελουργός ... Τουτὶ γὰρ χαίρω ἀκούων.

Φ. Τί δὲ δεῦρο πράττει;

Ἀμπελουργός. Ζῇ, καὶ γεωργοῦμεν.

Φ. Ἀναβεβιωκώς, ἢ τί;

Ἀμπελουργός. Οὐδὲ αὐτὸς λέγει, ὦ ξένε, τὰ ἑαυτοῦ πάθη. πλήν γε δὴ ὅτι ἀποθάνοι μὲν δι᾽ Ἑλένην ἐν Τροίᾳ, ἀναβιῴη δ᾽ ἐν Φθίᾳ, Λαοδαμείας ἐρῶν.

Φ. Καίτοι ἀποθανών γε μετὰ τὸ ἀναβιῶναι λέγεται, καὶ ἀναπεῖσαι τὴν γυναῖκα ἐπισπέσθαι οἱ.

Ἀμπελουργός. Λέγει καὶ αὐτὸς ταῦτα· ἀλλ᾽ ὅπως καὶ μετὰ ταῦτα ἀνῆλθε πάλιν, βουλομένῳ μοι μαθεῖν, οὐ λέγει, μοῖράν τι ἀπόρρητον, ὥς φησι, κρύπτων.

Καὶ οἱ συστρατιῶται δ᾽ αὐτοῦ, οἱ ἐν τῇδε τῇ Τροίᾳ,[1] ἔτι ἐν τῷ πεδίῳ

(1) Nempe Troiam manu monstrat, quae in conspectu erat Eleuntis, ubi hic dialogus institutus fingitur.

φαίνονται, μέχρι μοι τὸ σχῆμα, καὶ σκιάζοντες τοὺς λόφους. ---

Παρέλθωμεν ἐς τὸν ἀμπελῶνα, ὦ Φοῖνιξ. ---

Ἁδροί, ξένε, οἱ θάμνοι. γυμνάζεται γάρ ἐν αὐτοῖς ὁ ἥρως. ---

Ἐν τούτῳ ἐκ πολλῶν γήδιον λέλειπταί μοι, τρέφον οὐκ ἀπεικότως. τοὺς δὲ ἄλλους ἀγροὺς ἀφείλοντό μοι οἱ δυνατοί, ἐπειδὴ ὀρφανόν. καὶ τουτὶ δὲ τὸ χωρίδιον, ὑπὸ ξένου ἤδη τοῦ Χερρονησίτου κατεχόμενον, ἐφείλετο ὁ Πρωτεσίλεως, προβαλὼν τι αὐτῷ ἑαυτοῦ φάσμα, ὑφ' οὗ τὰς ὄψεις ἀνακοπεὶς, ἀπῆλθε τυφλός.

Φοῖνιξ. Ἀγαθόν γε τοῦ ἀγροῦ φύλακα εἶπας. καὶ οὐδὲ λύκου τινὸς ἔφοδον οἶμαι δέδιας, ἐχεγγύου ὄντος σοι τοῦ φίλου.

Ἀμπελουργός. Ἀληθῆ λέγεις. οὐδὲ γὰρ θηρίῳ ξυγχωρεῖ ἐσφοιτᾶν οὐδενί, οὐδὲ ὄφις ἐνταῦθα, οὐδὲ φαλάγγιον, οὐδὲ συκοφάντης ἡμῖν περὶ τοῦ ἀγροῦ ἐπιτίθεται. τὰ δὲ θηρία ταῦτα δεινῶς ἀναιδῆ, ἀπόλλυσι γοῦν ἐν ἀγορᾷ.

Φ. Τὴν δὲ φωνήν, Ἀμπελουργέ, πῶς ἐπαιδεύθης; οὐ γάρ μοι τῶν ἀπαιδεύτων φαίνῃ.

Ἀμπελουργός. Ἐν ἄστει, ξένε, τὸ πρῶτον διέτριβον τοῦ βίου, διδασκάλοις χρώμενος, καὶ φιλοσοφῶν. πονήρως δὲ τὰ ἐμὰ εἶχε, ἐπὶ δούλοις γὰρ ἦν τὰ χρήματα, οὐδ' ἀπέφερον ἡμῖν οὐδέν, ὅθεν δανείζεσθαί τε ἐπὶ τῷ ἀγρῷ ἔδει, καὶ πεινῆν. καὶ δῆτα ἀφικόμενος ἐνταῦθα, ξύμβουλον ἐποιούμην τὸν Πρωτεσίλεων. ὁ δὲ ὀργὴν ῥᾳδίως εἶχεν, ἐπειδὴ καταλιπὼν αὐτὸν ἐν ἄστει ἦν, ἐσιώπα. λιπαροῦντος δέ μου, καὶ ἀπολεῖσθαι φάσκοντος εἰ ἀμεληθείην, μεταμφίασαι, ἔφη. τοῦτο ἐγὼ ἐκείνης μὲν τῆς ἡμέρας ἀγνοῶν ἤκουσα. μετὰ ταῦτα μέντοι βασανίζων αὐτό, ξυνῆκα, ὅτι μεταβαλεῖν κελεύει με τὸ τοῦ βίου σχῆμα. ὅθεν διφθέραν τε προσαρμοσάμενος, καὶ σμινύην φέρων, καὶ οὐδὲ τὴν ἐς ἄστυ ὁδὸν ἔτι γινώσκων, βρύει μοι τὰ ἐν τῷ ἀγρῷ πάντα. κἂν νοσήσῃ πρόβατον, ἢ σμῆνος, ἢ δένδρον, ἰατρῷ χρῶμαι τῷ Πρωτεσίλεῳ. συνών τε αὐτῷ, καὶ τῇ γῇ προσκείμενος, σοφώτερός τε ἐμαυτοῦ γίνομαι, περιττὸς γὰρ καὶ σοφίας αὐτῷ.

Φ. Μακάριε τῆς ξυνουσίας, καὶ τοῦ ἀγροῦ, εἰ μὴ μόνον ἐλαίας καὶ βότρυς ἐν αὐτῷ τρυγᾷς, ἀλλὰ καὶ σοφίαν δρέπῃ, θείαν τε καὶ ἀκήρατον. καὶ ἴσως ἀδικῶ τὴν ἐν σοὶ σοφίαν, καλῶν σε Ἀμπελουργόν.

Α. Οὕτω καλεῖ. καὶ γὰρ ἂν χαρίζοιο τῷ Πρωτεσίλεῳ, γεωργόν τε ἐμέ, καὶ κηπουρόν, καὶ τὰ τοιαῦτα ὀνομάζων.

Φ. Ἐνταῦθα οὖν, Ἀμπελουργέ, ξύνεστε ἀλλήλοις;

Α. Ἐνταῦθα, ξένε. πῶς δὲ ἑτέρως;

(ἀκολουθεῖ)

(Πρωτεσίλαος)

Φ. Ὅτι μοι δοκεῖ τὸ μέρος τοῦ ἀγροῦ τοῦτο ἥδιστά τε ἐπαγγέλλεσθαι. καὶ εἰ μέν ἀναβιώη ἄν τις ἐνταῦθα, οὐκ οἶδα, βιῴη δ' ἂν ἥδιστά που καὶ ἀδυνατώτατα, ἐξελθὼν τοῦ βίου.

Δένδρα τε γὰρ ὑπερμήκη ταῦτα, τοῦ χρόνου αὐτὰ ἄραντος· ὕδωρ τε ἐκ πηγῶν πολλῶν ποικίλον, γάρ ἥσθη οἶμαι αὐτό, ὥσπερ ἄλλον ἄλλου ἀνθοσμίου πίνοντες.

Σὺ δὲ ἡ συνῳκησας φυλάξεις, ξυμπαθοῦντα τὰ δένδρα, καὶ ξυναρμόττει ὡς οὐδ' ἂν ὁ σιδηρεύτης ἐν δεσμοῖς ἀκράτου ξυμβάλοι.

Α. Κροῦσιν, ξένε, τῶν ἀηδόνων ἤκουσας, οἷον τῷ χωρίῳ ἐπιτιμίζουσιν.

Φ. Πλὴν ὅτι τὰ τῶν ἀγρῶν, ἥδιον γὰρ ἂν τοῦτο ἀκούσαιμι. Ξυγχωρεῖς δή που μίξασαι;

Αμπελουργός. Ξυγχωρεῖ ὁ ἥρως, χρηστὸς ὤν, ξυνεῖναι τουλοιποῦ τοῦ θάκου ...

Ἐρώτα, ξένε, ὅ,τι βούλει, καὶ οὐ μάτην ἀφῖχθαι φήσεις. ...

Σὺ δὲ ὁ Πρωτεσίλεως, ἱστορίας τέ δὲ ἔρου ἐρωτήσεις, ἤδη ἀποφαντῷ σοφώτερον ...

Φ. Πλέω μὲν ἐξ Αἰγύπτου καὶ Φοινίκης, ποιμένων καὶ ξενοδοχῶν ἤδη που ταύτην ἡμέραν, κατασχοῦσαν τὰς νεὼς εἰς Ἐλαιοῦντα τοῦτον. ... Βαδίζωμεν δὲ ἔνθα, πρῶτον ἐντετύχηκα σοι, καὶ περὶ Πρωτεσιλάου διαλεχθῶμεν ...

Α. Ποθῶ μαθεῖν ξυμπάθειαν. αὐτὴν γὰρ τὴν ξυνουσίαν, ἥ τις ἐστί σοι πρὸς τὸν Πρωτεσίλαον, καὶ ὁποῖος ἐστι. ...

Αμπελουργός. Ψυχαὶς οὕτω θείαις, καὶ μακαρίαις, ἀρχὴ βίου τὸ καθαρεῦσαι τοῦ σώματος.

Θεοὺς τε γὰρ ὧν ὀπαδοὶ νῦν, γινώσκουσι τότε, οὐκ ἀγάλματα θεραπεύουσαι, καὶ ὑπονοίας, ἀλλὰ ξυνοῦσαι φανερὰ προλέγουσι ποιούμεναι. τότε τῶν ἀνθρώπων ὁρῶσιν, ἐλεύθεραι νόσων τε καὶ σώματος. ὅτε δὴ καὶ θαυμαστῆς σοφίας ἐμφοροῦνται, καὶ τὸ χρησμῶδες αὐταῖς προσβακχεύει. τὰ γὰρ Ὁμήρου ποιήματα, τίνα φήσεις οὕτως ἀναγνωσθῆναι, τῷ σφόδρα βασανίζοντι Ὅμηρον, ὡς ἀναγινώσκει τὸν Πρωτεσίλεως. καὶ διορᾷ αὐτά; καί τοι, ξένε, πρὸ Πριάμου, καὶ Τροίας, οὐδὲ ῥαψῳδία τις ἦν, οὐδὲ ᾔδετο τὰ μήπω πραχθέντα. ... ἀλλ' ὅμως οἶδεν ὁ Πρωτεσίλαος τὰ Ὁμήρου πάντα, καὶ πολλὰ μὲν ᾄδει Τρωϊκὰ μεθ' ἑαυτὸν γενόμενα, πολλὰ δὲ Ἑλληνικά τε καὶ Μηδικά. τήν τε γὰρ στρατείαν τοῦ Ξέρξου τρίτην ὀνομάζει φθορὰν τῶν ἀνθρώπων, μετὰ τὴν ἐπὶ Δευκαλίωνος, καὶ Φαέθοντος ξυμβᾶσαν, ἐπειδὴ πλεῖστα ἔθνη ἐν αὐτῇ διεφθάρη-

(ἀκολουθεῖ)

Κεφ. Α΄

Φ. Κέρας Ἀμαλθείας ἐμπλήσεις, Ἀμπελουργέ, τοιαῦτα εἰδότος τοῦ ἑταίρου· ὀκνῶ γάρ που ἀπαγγέλλειν αὐτά, ὡς ἤκουσας.

Α. Νὴ Δί', ἦ ἀδικοίην φιλόσοφόν τε καὶ φιλαλήθη ἥρωα, μὴ τιμῶν ἀλήθειαν, ἣν ἐκεῖνος μητέρα ἀρετῆς ὀνομάζειν εἴωθε.

Φ. Δοκῶ μοι ξυγκαταρχαῖς τῶν λόγων ὡμολογηκέναι πρὸς σὲ τὸ ἐμαυτοῦ πάθος· φημὶ γὰρ ἀπίστως διακεῖσθαι πρὸς τὰ μυθώδη. τὸ δὲ αἴτιον, οὐδενί πω ἐνέτυχον ὅτι αὐτὰ ξυγγέγονα. ἀλλ' ὁ μὲν ἑτέρου ἀκηκοέναι φησίν, ὁ δὲ οἴεσθαι, τὸν δὲ ποιητὴς ἐπαίρει. καὶ τὰ λεγόμενα δὲ περὶ τοῦ μεγέθους τῶν ἡρώων, ὡς δεκαπήχεις ἦσαν, ψυδρὰ [illegible] ἀπίθανα τίθεμαι θεωρῶν αὐτὰ πρὸς τὴν φύσιν, ἧς μέτρα οἱ νῦν ἄνθρωποι.

- - - - - - -

Ἀμπελουργός... καὶ μὴν καὶ Ὑμναῖος ὁ Πεπαρήθιος, ἐπιτήδειός μοι ὤν, ἔπεμψέ τινα τῶν ἑαυτοῦ υἱῶν πρὸ ἐτῶν που τεττάρων, ἐρησόμενον δὲ ἐκ τοῦ τὸν Πρωτεσίλεων περὶ ὁμοίου θαύματος. ἐν τῇ γὰρ τῇ νήσῳ, νέμεται δὲ αὐτὴν μόνος, ἔτυχε μὲν ὀρύττων ἀμπέλους. διανοίξαντες οὖν [illegible] ἑπτάπηχυς ὁ νεκρὸς ἔκειτο, τὸ δὲ κρανίον ὤκει δράκων. ὁ μὲν δὴ [illegible] ἀφίκετο ἐπερησόμενος ἡμᾶς, ὅ,τι χρὴ πράττειν ἐπ' αὐτῷ·

ὁ δὲ Πρωτεσίλεως, τὸν ξένον ἔφη ξυγκαλύπτειν, κελεύων δή που ἐπιβάλλειν τὸν νεκρόν, ἢ [illegible] ἐκδύντας. ἐπειδὴ καὶ ὢν Γίγας εἴη τῶν βεβλημένων. - - - -

Κεφ. Β΄

Φ. Ἀλλὰ τὰ τοῦ Πρωτεσίλεω πῶς ἔχει;

Ἀμπελουργός. Κεῖται μὲν οὐκ ἐν Τροίᾳ ὁ Πρωτεσίλεως, ἀλλ' ἐν Χερρονήσῳ ταυτί.(1)

Κολωνὸς δέ που αὐτὸν ἐπέχει μέγας, οὑτοσὶ δή που ὁ ἐν ἀριστερᾷ.

Πτελέας δὲ ταύτας αἱ νύμφαι παρὰ τῷ κολωνῷ ἐφύτευσαν, καὶ τοιόνδε ἐπὶ τοῖς δένδρεσι τούτοις ἔγραψάν που αὗται νόμον, τοὺς πρὸς τὸ Ἴλιον τετραμμένους τῶν ὄζων(3) ἀνθεῖν μὲν πρωΐ, φυλλορροεῖν δὲ αὐτίκα, καὶ προαπόλλυσθαι τῆς ὥρας· τοῦτο δὴ τὸ τοῦ Πρωτεσίλεω πάθος· τῷ δὲ ἑτέρῳ μέρει ζῆν τὸ δένδρον, ἢ εὖ πράττειν. καὶ ὁπόσα δὲ τῶν δένδρων μὴ περὶ τὸ σῆμα ἕστηκεν, ὥσπερ καὶ ταυτὶ τὰ ἐν τῷ κήπῳ, πᾶσιν ἔρρωται τοῖς ὄζοις, ἢ θαρσεῖ τὸ ἴδιον.

Τὸ δέ γε ἱερὸν(?) ἐν ᾧ κατὰ τοὺς πατέρας ὁ Μῆδος ὕβριζεν,(6) ἀφ' ὃ καὶ τὸ τάριχος ἀναβιῶναι(8) φασί, τοῦτο ἡγοῦ, ὦ ξένε. καταλέλειπται δὲ αὐτοῦ ὡς ὁρᾷς ὀλίγα. τότε δέ, οἶμαι, χαρίεν τε ἦν καὶ οὐ μικρόν, ὡς ἔστι τοῖς θεμελίοις ξυμβαλέσθαι.

Τὸ δὲ ἄγαλμα τοῦτο βέβηκε μὲν ἐπὶ νεώς· τὸ γὰρ τῆς βάσεως

(ἀκολουθεῖ)

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

σχῆμα πρώρα, ἴδιον δὲ ναύαρχος.(11)

Περιτρίψας δὲ αὐτὸ ὁ χρόνος, καὶ νὴ Δί' οἱ ἀλείφοντές τε καὶ οἱ κατασφραγιζόμενοι τὰς εὐχὰς, ἐξηλλάχασι τοῦ εἴδους.

Ἐμοὶ δὲ οὐδὲν τοῦτο, αὐτῷ γὰρ ξύνειμι, [ἀπολαύω] καὶ βλέπω, καὶ οὐδὲν ἄν μοι γένοιτο ἄγαλμα ἐκείνου ἥδιον.

---

Gottfridus Olearius. Lipsiae 1709 s. 672-673

(1) Κεῖται ὁ Πρωτεσίλεως ἐν Χερρονήσῳ ταύτῃ). Quidem non procul
(3) Eleunte, ut ex Mela lib. II c. 2 recte colligit Is. Vossius.
Sic et Calaber lib. VII.

Φαίνεται δ' ἐν Ἐλεοῦντος ἕδος θ' ἵνα Πρωτεσιλάου
Σῆμα πέλει, ~~πτελέῃσι, κατάσκιον~~ αἰπεινῇσιν.
Αἱ δ' ὁπότ' ἀθρήσωσι ἀνερχόμεναι δαπέδοιο
Ἴλιον, αὐτίκα τῇσι θάλος ἀπαναίνεται ἄκρα.

Et Antiphilus Byzantius lib. III Anthol.

Δένδρεα δυσμήνιτα καὶ ἣν ποτε τεῖχος ἴδωσι
Τρώϊον, ἀναδίαν φυλλοχορεῦσι κόμην.

Et Philippus in Epigrammate

Ἴλιον ἢν ἐσίδῃ γὰρ ἀπ' ἀκρεμόνων κορυφαίων,
Καρφοῦνται πετάλων κόσμον ἀναινόμενα.

(5) Τὸ δέ γε ἱερὸν] Meminit ejus Herodotus Polymnia p. 251, et Calliope p. 354. Et Mela II, 2. Protesilai ossa consecrata delubro.

(6) Ὁ Μῆδος ὕβρισεν] Artayctam Medum respicit, qui eo tempore, quo Xerxes in Thracicam Chersonesum ex Asia trajecit, non tantum Xerxis permissu sacros templi Protesilai thesauros compilavit: sed etiam feminis in eo turpiter se oblectavit, ἐς τὸ Πρωτεσίλεω ἱρὸν τὸ ἐν Ἐλεοῦντι ἀγινεόμενος γυναῖκας ἀθέμιτα ἔργα ἔρδεσκε, ut loquitur Herodotus Polymnia p. 251 et Calliope p. 354. ubi et τὸ τέμενος σπείρασθαι, νέμεσθαι templum dispersisse dicitur: atque haec Μήδου ὕβρις est, quam hoc loco respicit Vinitor.

(6) Τὸ τάριχος ἀναβιῶναί φασιν] Artayctam Medum ab Atheniensibus, paulo post sacrilegium supra memoratum, duce Xantippo, captum ait Herodotus Calliope l. c. Tum vero eorum uni, qui eum custodiebant, tale oblatum ostentum esse: Caro salsa, quam ille torrere parabat, igni imposita resiliit ac palpitavit, haud secus ac pisces recens capti. Quod admiratam portentum circumfusa est multitudo, id vero se spectare Artayctes monuit: nempe Protesilaum, qui apud Eleuntem sit, a se antea offensum signum edere, accepisse se a Diis potestatem vexandi sese, a quo injuria fuisse affectus. Nempe eum, mortuus qui fit, adeoque conditus, vivum sese modo ostendere. Hoc igitur τὸ τάριχος quod ἀναβιῶναι Vinitor dixit. En verba Herodoti: τέων τις φυλασσόντων λέγεται ὑπὸ Χερσονησιτέων ταρίχους ὀπτῶντι τέρας γενέσθαι τοιόνδε. οἱ τάριχοι ἐπὶ τῷ πυρὶ κείμενοι ἐπάλλοντό τε καὶ ἤσπαιρον, ὅκως περ ἰχθύες νεάλωτοι. οἱ μὲν περιχυθέντες ἐθώμαζον. ὁ δὲ Ἀρταΰκτης ὡς εἶδε τὸ τέρας, καλέσας τὸν ὀπτῶντα τοὺς ταρίχους, ἔφη· ξεῖνε Ἀθηναῖε, μηδὲν φοβέο τὸ τέρας τοῦτο, οὐ γὰρ σοὶ πέφηνε ἀλλ' ἐμοί. σημαίνει ὁ ἐν Ἐλαιοῦντι Πρωτεσίλεως ὅτι καὶ τεθνεὼς καὶ τάριχος [...] δύναμιν πρὸς θεῶν ἔχει τὸν ἀδικέοντα τίνεσθαι etc.

(11) Ἵδρυται δὲ ναύαρχος] Navem adduxerat ad Troiam oppugnandam Protesilaus, ideoque Navarchi forma hic visitur.

Φ. Ἦ καὶ διαγράψαις μοι αὐτόν, καὶ κοινωνήσαις τοῦ εἴδους;

Αμπελουργός. Χαίρων γε, νὴ τὴν Αθηνᾶν, ὦ ξένε.

Γέγονε μὲν γὰρ ἀμφὶ τὰ εἴκοσί που μάλιστα ἔτη. τηλίκος δὲ ἐλάσας ἐς Τροίαν, ἁβρῷ δ' ἰούλῳ βρύει, καὶ ὄζει αὐτοῦ ἥδιον, ἢ τὸ μετόπωρον τὰ μύρτα. φαιδρὰν δὲ ὀφρὺν περὶ τὸ ὄμμα βέβληται, τὸ γὰρ ἐπίχαρι αὐτῷ φίλον. βλέπει δέ, εἰ μὲν ταῖς σπουδαῖς σύννουν καὶ σφοδρόν, εἰ δὲ ἀνειμένου τύχοιμεν, φεῦ τῶν ὀφθαλμῶν, ὡς ἐπαφρόδιτοί τε καὶ φιλικοὶ φαίνονται. καὶ μὴν καὶ κόμης ξανθῆς ἔχει τὸ μέτριον. ἔστι γὰρ καὶ ὅσον ἐπικεκράσθαι τῷ μετώπῳ καὶ μᾶλλον, ἢ καὶ αὐτὸ πίπτειν. καὶ τετράγωνος ἡ ἰδέα τῆς ῥινός, οἷον ἀγάλματος. φθέγγεται δὲ γεγωνότερον ἢ αἱ σάλπιγγες, καὶ ἀπὸ μικροῦ γε τοῦ στόματος. γυμνῷ δὲ ἐντυχεῖν ἥδιστον. εὐπαγὴς γὰρ καὶ κοῦφος, ὥσπερ οἱ δρομικοὶ τῶν Ἑρμῶν. τὸ δὲ μῆκος δεκάπηχυς τάχα, δοκεῖ δ' ἄν μοι καὶ ὑπὲρ τοῦ ἀναδραμεῖν, εἰ μὴ ἐν μειρακίῳ ἀπέθανεν.

Φ. Εἶδον τὸν νεανίαν, Αμπελουργέ, καὶ ἄγαμαι τοῦ ἑταίρου. ὥπλισται δέ, ἢ τί;

Αμπελουργός. Χλαμύδα ἐνῆπται, ξένε, τὸν Θετταλικὸν τρόπον, ὥσπερ καὶ τὸ ἄγαλμα τουτί. ἁλουργὶς δὲ ἡ χλαμύς, θεῖον ἄνθος, ἄρρητον γὰρ τὸ τῆς πορφύρας ἄνθος.

Φ. Ὁ δὲ δὴ ἔρως, ὃν τῆς Λαοδαμείας ἤρα, πῶς ἔχει αὐτῷ νῦν;

Α. Ἐρᾷ, ξένε, καὶ ἐρᾶται, καὶ διάκεινται πρὸς ἀλλήλους, ὥσπερ οἱ θερμοὶ τῶν νυμφίων.

Φ. Περιβάλλεις δὲ ἥκοντα, ἢ διαφεύγει καπνοῦ δίκην, ὥσπερ τοὺς ποιητάς;

Αμπελουργός. Χαίρει περιβάλλοντι, καὶ ξυγχωρεῖ φιλεῖν τε αὐτόν, καὶ τῆς δέρης ἐμφορεῖσθαι.

Φ. Θαμίζει δέ, ἢ διὰ πολλοῦ ἥκει;

Α. Τετράκις τοῦ μηνός, ἢ πεντάκις οἶμαι αὐτοῦ μετέχειν, ὁπόταν φυτεῦσαί τι βούλοιτο τουτωνὶ τῶν φυτῶν, ἢ τρυγῆσαι, ἢ ἄνθη κεῖραι. φιλοστέφανος γάρ τις, καὶ ἥδιστα ἀποφαίνει τὰ ἄνθη, ὁπόταν περὶ αὐτὰ ἴοι.

Φ. Ἱλαρόν γε τὸν ἥρω λέγεις, καὶ ἀτεχνῶς νυμφίον.

Α. Καὶ σώφρονά γε, ὦ ξένε, φιλογέλως γὰρ ὢν ἐφ' ἡλικίας, ὕβριν οὐ πράττει. γονικῶς δὲ ἅπτεται πολλάκις, εἴ που δρυΐνῃ πέτρᾳ ἐντύχοιμι, καὶ ξυλλαμβάνει μοι τοῦ δυσέργου, καὶ ἀγνοοῦντός τι τῶν κατὰ γεωργίαν διορθοῦταί με. τά τε δένδρα, ἐγὼ μὲν παραινοῦντος τοῦ Ὁμήρου, μακρὰ ἐφύτευον, μήποτε ἄνω τὸ ἐς τὴν γῆν ἐμβιβάζειν, καὶ ὁπότε ἐπελάβετο κοινὰ Πρωτεσιλάου, ἐχρώμην τοῦ Ὁμήρου πρὸς αὐτόν. ὁ δὲ ὑπολαβών, αὐτὸς μέντοι Ὅμηρος τὸν ἐναντίον ἔφη, κελεύει τρόπον, ἢ σὺ πράττεις. μακρὰ γὰρ ὑπὸ σοφίας τὰ βαθέα οἶδεν, ὥ που τὰ φρέατα μακρὰ ὀνομάζει, βαθέα ὄντα, καὶ τὰ δένδρα δὲ δεῖ ἐμβιβάζεσθαι τῇ γῇ μᾶλλον, εἰ τῷ μὲν πλείονι ἐρείδοιτο, τῷ δὲ ὀλίγῳ κινοῖτο.

Ἐπιρρεῖ δὲ καί ποτε ἄνθη ποτίζοντι, τὸ ὕδωρ, εἶπεν, ὦ τᾶν, οὐ δεῖται ὕδατος, διδάσκει δή που μὴ ἔκπαγλα ποιεῖν τὰ ἄνθη.

(ἀκολουθεῖ)

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

(Πρωτεσίλαος)

Φ. Τὸν δὲ ἄλλον χρόνον, ὦ Ἀμπελουργέ, ποῦ διαιτᾶται;

Α. Ποτὲ μὲν ἐν Ἅιδου, φησί· ποτὲ δὲ ἐν Φθίᾳ. ποτὲ δ' αὖ ἐν Τροίᾳ, οὗ οἱ ἑταῖροι.

Καὶ πρὸς θήραν συῶν ἢ ἐλάφων γενόμενος, κατὰ μεσημβρίαν ἀφικνεῖται, καὶ καθεύδει ἐκταθείς.

Φ. Ποῦ δὲ τῇ Λαοδαμείᾳ ξύνεστιν;

Α. Ἐν Ἅιδου, ξένε, καὶ λέγει αὐτὴν εὐδοκιμώτατα γυναικῶν πράττειν, ἀριθμουμένην ἐν ταῖς Ἀλκήστιδός τε καὶ Ἀδμήτου, καὶ Εὐάδνης τῆς Καπανέως, καὶ αἳ ταύταις ἴσαι, σώφρονές τε καὶ χρησταί.

Φ. Ξυσσιτοῦνται δὲ ἀλλήλοις, ἢ οὐ θέμις;

Α. Οὔπω, ξένε, σιτουμένῳ ἐπέτυχον, οὐδὲ πίνοντα εἶδον.

Καίτοι σπένδω γε αὐτῷ κατὰ ἑσπέραν, ἀπὸ τουτωνὶ τῶν Θασίων ἀμπέλων, ἃς ἐφύτευσεν αὐτός· καὶ τρωκτὰ ὡραῖα προτίθημι κατὰ μεσημβρίαν, ἐπειδὰν θέρος τε ἥκῃ, καὶ μετόπωρον ἱστῆται, σελήνης δὲ ἰούσης ἐς κύκλον ἐν τῇ τοῦ ἦρος ὥρᾳ, γάλα ἐγχέας ἐς τὸν ψυκτῆρα τουτονί, ἰδοὺ ὅ σοι λέγω, τὸ τῆς ὥρας νᾶμα, σὺ δὲ πῖνε. κἀγὼ μὲν εἰπὼν τοῦτο, ἀπαλλάττομαι, τὰ δὲ βέβρωταί τε καὶ πέποται θᾶττον ἢ καταμῦσαι.

Φ. Περὶ δὲ τῆς ἡλικίας, ἐν ᾗ γεγονὼς ἀπέθανε, τί φησιν;

Α. Ἐλεεῖ, ξένε, τὸ ἑαυτοῦ πάθος, καὶ τὸν δαίμονα, ἐφ' ᾧ τότε ἦν, ἄδικον ἡγεῖται, καὶ βάσκανον, μὴ ξυγχωρήσαντά οἱ τὸν γοῦν πόδα ἐπὶ τὴν Τροίαν ἐρεῖσαι. ... ἑαυτὸν δὲ ὀλοφύρεται οὐδὲν ἐν Τροίᾳ μεμαχημένον, ἀλλὰ πεσόντα ἐν γῇ ᾗ οὐδὲ ἐπέβη, καὶ τὴν ὠτειλὴν δὲ ἐντετύπωται τῷ μηρῷ, τὸ γὰρ τραῦμα συναποσείσασθαί φησι τῷ σώματι.

Φ. Γυμνάζεται δέ, ὦ Ἀμπελουργέ, τίνα τρόπον; ἐπειδὴ ἑώρακας αὐτὸν καὶ τοῦτο ἐξασκοῦντα.

Α. Γυμνάζεται, ξένε, τὰ πολεμικά, πλὴν τοξικῆς, τὰ δὲ γυμναστικὰ πλὴν πάλης. ...

Φ. Παγκρατιάζει δὲ πῶς, ἢ πυκτεύει;

Α. Σκιᾷ, ὦ ξένε, τοῦτο γυμνάζεται. καὶ δισκεύει μεῖζον ἢ ἐφικέσθαι ἀνθρώπῳ, ἀνακρούει μὲν γὰρ ὑπὲρ τὰς νεφέλας τὸν δίσκον, ἔστιν δὲ ὑπὲρ τοὺς ἑκατὸν πήχεις, καὶ ταῦθ', ὡς ὁρᾷς, διπλάσιον τοῦ Ὀλυμπικοῦ ὄντα.

Δραμόντος δὲ αὐτοῦ οὐκ ἂν εὕροις ἴχνος, οὐδ' ἂν ἐπισημήναιτό τι τῇ γῇ ὁ πούς.

Φοιν. Καὶ μὴν καὶ ἴχνη μεγάλα ἐντετύπωται τοῖς δρόμοις, συμβαίνοντα ἐς τὸ δεκάπηχυ μέγεθος τοῦ ἥρω.

Α. Βαδίζοντος, ξένε, τὰ ἴχνη ἐκεῖνα, καὶ γυμναζομένου τι ἕτερον.

Δραμόντος δέ, ἄσημος ἡ γῆ, μετέωρος γάρ τις, καὶ οἷον ἐπικυματίζων φέρεται. φησὶ δὲ καὶ παραδραμεῖν ἐν Αὐλίδι τὸν Ἀχιλλέα, καὶ ὑπὲρ τὸ πήδημα τοῦ ἐκείνου ἀρθῆναι. ....

Πολλὰ γὰρ περὶ τῶν ἀνδρῶν, περί τε πολεμικῶν ἔργων, ὁ ἥρως λέγει, εἰπὼν τοὺς πολλοὺς εὔδηλα ὄντα. ... ἀκοῦσαι δέ, φησίν, κακῶν καὶ ἀγαθῶν ἀνδρῶν, καὶ τῶν μὲν οὐδ' ἐπιμνησθῆναι τὸ παράπαν, τοὺς δὲ ἀναθεῖναι

 18125

τρίτῃ τετάρτῃ ἔπει. τὸν μὲν δὲ Ἀχιλλέα φησὶν ἐπαξίως ὑμνεῖσθαι, τὸν δὲ Ὀδυσσέα μεγάλως καὶ ὁπόσα δὲ Σθενίδου τε καὶ Παλαμήδους καὶ τῶν τοιῶνδε ἀνδρῶν παραδίδωται, δίκαιοί σοι μικρολογώτερον.

Ἄκουε τοῦ ἥρω θαύματα πρὸς ἀθλητάς, οἳ ἐχρήσαντο αὐτῷ συμβούλῳ.

Τὸν Κίλικα οἶμαι παγκρατιαστὴν ἀκούεις, ὃν Ἀλτῆρα ἐκάλουν οἱ πατέρες, ὡς μικρὸς ἦν καὶ τῶν ἀντιπάλων παρὰ πολύ.

Φ. Οἶδα τεκμαιρόμενος τοῦ ἀνδριάντος, χαλκοῦ γὰρ πολλαχοῦ ἕστηκε.

Α. Ταῦτα, ξένε, περιῆν μὲν καὶ ἐπιστήμης, περιῆν δὲ καὶ θυμοῦ καὶ μάλα ἐρρωμένῳ αὐτὸν ἡ καὶ εὐαρμοστία τοῦ σώματος.

Ἀφικόμενος οὖν ἐς τὸ ἱερὸν τοῦτο ὁ παῖς, ἔπλει δὲ ἐκ Δελφῶν, ἀγωνιούμενος τὴν κρίσιν, ἠρώτα τὸν Πρωτεσίλεων, ὅ τι πράττων περιέσοιτο τῶν ἀντιπάλων· ὁ δὲ πατούμενος ἔφη. ἀθυμία μὲν δὴ αὐτίκα τὸν ἀθλητὴν ἔσχεν, ὡς καταβεβλημένον ὑπὸ τοῦ χρησμοῦ. τὸ δὲ ἀποπτερνίζειν ἐν ἀγωνίᾳ πρῶτος εὑρών, ξυνῆκεν ὕστερον, ὅτι κελεύει αὐτὸν μὴ μεθίεσθαι τοῦ ποδός. τὸν γὰρ ἀποπτερνίζοντα τῇ πτέρνῃ πατεῖσθαί τε ξυνεχῶς χρὴ καὶ ὑποκεῖσθαι τῷ ἀντιπάλῳ. καὶ τοῦτο πράττων ὁ ἀθλητὴς οὕτως ὀνόματος λαμπροῦ ἔτυχε καὶ ἡττήθη οὐδενός.

Ἀκούεις δέ που καὶ Πλούταρχον τὸν πύκτην ἐκεῖνον τὸν δεξιόν; Οὗτος ἀνιὼν τὴν δευτέραν Ὀλυμπιάδα ἐπὶ τοὺς ἄνδρας, ἱκέτευε τὸν ἥρω χρῆσαί οἱ περὶ τῆς νίκης. ὁ δὲ αὐτὸν κελεύει Ἀχελῴῳ ἐν ἀγωνίᾳ εὔχεσθαι.

Φ. Τί οὖν τὸ αἴνιγμα;

Α. Ἠγωνίζετο μὲν ἐν Ὀλυμπίᾳ πρὸς Ἑρμείαν τὸν Αἰγύπτιον, τὴν περὶ τοῦ στεφάνου πυγμήν. ἀπειρηκότες δέ, ὁ μὲν ὑπὸ τραυμάτων, ὁ δὲ ὑπὸ δίψης, καὶ γὰρ ἐκπαλάζουσα μεσημβρία περὶ τὴν στιγμὴν εἱστήκει, νεφέλη ἐς τὸ στάδιον καταρρήγνυται. καὶ διψῶν ὁ Πλούταρχος ἔσπασε τοῦ ὕδατος, ὃ ἀνελάμβανε τὰ περὶ τοῖς πήχεσι κώδια. καὶ τὸν χρησμὸν ἐνθυμηθείς, ὡς μετὰ ταῦτα ἔφασκεν, ἐς θάρσος ὥρμησε, καὶ ἔτυχε τῆς νίκης.

Ἕλιξ δέ, ὁ ἀθλητής, αὐτὸς μὲν οὔπω προσπεφοιτήκει τῷ ἱερῷ τούτῳ, πέμψας δέ τινα τῶν ἑαυτοῦ ἑταίρων, ἤρετο ποσάκις νικήσει τὰ Ὀλύμπια· ὁ δὲ δίς, ἔφη, νικήσεις, ἐὰν μὴ ἐθέλῃς τρίς.

Φ. Δαιμόνιον, Ἀμπελουργέ, λέξεις γάρ που τὸ ἐν Ὀλυμπίᾳ πραχθέν. προϋπαρχούσης γὰρ αὐτῷ νίκης μιᾶς, ὅτε ἀνὴρ ἐκ παίδων, ἐνίκα πάλην, ἀπεδύσατο τὴν ἐπὶ ταύτῃ Ὀλυμπιάδι πάλην τε καὶ παγκράτιον, ἐφ' ᾧ δυσχεράναντες οἱ Ἠλεῖοι, δικοῦντο

(ἀκολουθεῖ)

μὲν ἀμφοῖν ἦρχεν αὐτόν, ἐγκλήματα Ὀλυμπιακὰ ξυνθεὶς αὐτῷ. κόγη δ' ἀνῄδησαν τὸ παγκράτιον. καὶ τοῦτον ἄρα τὸν φθόνον ὁ Πρωτεσίλεως φυλάξασθαι προὔλεγεν, εἰδὼς αὐτὸν ἀντίπαλον τοῦ ἐξηρημένου ὅπλα.

Α. Ἄριστα, ξένε, τοῦ χρησμοῦ ἐπεμνήσθης.

Φ. Τῶν δὲ δὴ νόσων τίνας ἰᾶται; πολλοὺς γὰρ αὐτῷ φὴς εὔχεσθαι.

Ἀμπελουργός. Πάσας ἰᾶται, ὁπόσαι εἰσί. Μάλιστα δὲ τὰς φθόας τε καὶ τοὺς ὑδέρους, καὶ τὰς τῶν ὀφθαλμῶν νόσους, καὶ τοὺς τεταρταίους πυρέττοντας.

Ἔστι καὶ ἐρῶντι τυχεῖν αὐτοῦ ξυμβούλου. ξυναλγεῖ γὰρ σφόδρα καὶ τοῖς τὰ ἐρωτικὰ ἀτυχοῦσι, καὶ ὑποτίθεται αὐτοῖς ἐπῳδὰς καὶ τέχνας, αἷς τὰ παιδικὰ καὶ θέλξουσι.

Μοιχοῖς δὲ καὶ οὔτε προσδιαλέγεται οὐδέν, οὔτε ὑποτίθεταί τι ἐρωτικόν. φησὶ γὰρ ἀπηχθῆσθαι αὐτοῖς, ἐπειδὴ τὰ ἔρωτα διαβάλλουσιν.

Ἀφικομένων γοῦν ἐνταῦθα μοιχοῦ ποτε, αὐτῇ γυναικί, ἣν ἐπείρα, καὶ ξυνομνύναι βουλομένων ἐπὶ τὸν ἄνδρα, παρόντα μέν, ξυνιέντα δὲ οὐδὲν (ὁ μὲν γὰρ ἔτυχε καθεύδων μεσημβρίας ἐνταῦθα, οἱ δ' ὤμνυσαν ἤδη προσεστηκότες τῷ βωμῷ) τί οὖν ὁ Πρωτεσίλεως; ἐξορμᾷ τοῦτον τὸν κύνα, ἥτοι χρηστόν, ὁρᾷς, ὄντα, προσπεσὼν τε αὐτοῖς καλῶς πιν, καὶ δακὼν ἐπὶ θνήσκοντας ἐς τὸν ὅρκον οὕτω ξυγχέας, ἐφίσταται τῷ ἀνδρί, καὶ κελεύει καὶ αὐτὸν ἐπιλύειν ἀπελθεῖν, τὸ γὰρ δὴ ἄγαλμα σφῶν αἴτιον εἶναι. οὔπω δὲ νῦν γοῦν καὶ αὐτόν τε καὶ τὸν ἑαυτοῦ οἶκον.

Τοὺς μὲν γὰρ θεοὺς πάντα γινώσκειν, τοὺς δὲ ἥρωας ἥττω μὲν ἐλάττω, πλείω δὲ ἀνθρώπων.

Πολὺς ἐπιρρεῖ τῶν τοιούτων ὄχλος, εἰ πάντα ἀπομνημονεύοιμι.

Ὅτι γε μὴν τὰ ἆθλια τε καὶ φυλάκια φανερῶς πᾶσιν, ὅσοι Θετταλίαν οἰκοῦσι. καὶ γὰρ τὸ ἐκεῖ καὶ ἱερὸν, ἐναργὲς τοῦ Πρωτεσίλεω. καὶ πολλὰ καὶ τοῦ Θετταλοῦ ἐπισημαίνει φιλάνθρωπά τε, καὶ εὐμενῆ ὄργια ἄν, εἰ ἀριθμοῖτο.

Κεφ. II. (14) Τὰ δ' ἐμβατήρια τοῦ λόγου τῷ Πρωτεσίλεω εὔχεσ.

Κεφ. III (20) Παρέλθοι δή με, ὦ Πρωτεσίλεω, μηδέν, μηδὲ ἐκλαθοίμην τινὸς ὧν ἤκουσα.

(ἀκολουθεῖ)

Κεφ. XI (4)
Φοῖνιξ. Τὰ δὲ τῶν Τρώων γινώσκει ὁ Πρωτεσίλεως, ἀμπελουργέ; ἢ οὐκ ἀξιοῖ μνημονεύειν αὐτῶν, ὡς μὴ ἀξίους σπουδῆς φαίνοιντο;
Ἀμπελουργός. Οὐκ ἔστι, ξένε, τὸ τοῦ Πρωτεσίλεω τοιοῦτον, ἄπεστι γὰρ αὐτοῦ φθόνος.

Κεφ. XV. Τοῦτον γὰρ τὸν ταώ, χαίρει δὲ ὁ Πρωτεσίλεως τῇ ὥρᾳ καὶ τῷ ἄνθει τοῦ ὄρνιθος, ἰδών ποτε ὑπερανεστηκότα, καὶ περιβεβληκότα τὰ πτερά, περιβλέποντά τε αὐτά, καὶ καθαίροντα, ἔστι δ' ἃ καὶ διατιθέντα, ἵν', ὥσπερ οἱ τῶν λίθων ὅρμοι, κεκοσμημένα φαίνοιτο, ἰδού, ἔφη, οὗ πρώην ἐμνημονεύομεν, Πάρις, ὁ τοῦ Πριάμου. ἐμοῦ δὲ ἐρομένου αὐτόν, τί ἔοικεν ὁ ταὼς τῷ Πάριδι, τὸ φίλαυλον, εἶπε. καὶ γὰρ δὴ κἀκεῖνος κόσμον ἔνιον περιεθῆκε καὶ ἑαυτόν, περιεσκόπει δὲ τὰ ὅπλα. δορὰς δὲ παρδάλεων ἐνῆπτο τοῖς ὤμοις· αἰσχρὸν δὲ προσίστατο ταῖς κόμαις, οὐδὲ ὁπότε μάχοιτο, ἠνείχετο, ἔβλιττε δὲ καὶ τοὺς ὄνυχας τῶν χειρῶν. ὑπόχρυσος ἦν, καὶ λευκός, καὶ τὸ ὄμμα ἐγέγραπτο, ἡ δὲ ἑτέρα ὀφρὺς ὑπερῆρε τοῦ ὄμματος.

Κεφ. XVIII. Δύο γοῦν ποιητῶν ἀγῶνα ποτε εἰπόντων ἐς αὐτὸν ἐνταυθοῖ, καὶ ἀπελθόντων, ἤρετό με ὁ ἥρως ἀφικόμενος ὅτῳ αὐτῶν ψηφιζοίμην· ἐμοῦ δὲ τὸν φαυλότερον ἐπαινέσαντος, καὶ γὰρ μᾶλλον ἔτυχεν ηὐδοκιμηκώς, γελάσας ὁ Πρωτεσίλεως, καὶ Πανίδης, ἔφη, ἀμπελουργέ, ταὐτόν σοι πέπονθε. Χαλκίδος γάρ, τῆς ἐπ' Εὐρίπῳ, βασιλεὺς ὢν ἐκεῖνος, Ἡσιόδῳ κατὰ Ὁμήρου ἐψηφίσατο, καὶ ταῦτα τὸ γένειον ἔχων μεῖζον ἢ σύ.

Κεφ. XIX (3). Φοῖνιξ. Τί οὖν δὴ ὁ Πρωτεσίλεως, Ἀμπελουργέ, περὶ τούτων οἶδε; (περὶ τῶν παιδικῶν χρόνων τοῦ Ἀχιλλέως)
Ἀμπελουργός. Πιθανώτερα, ξένε, καὶ ἀληθέστερα.

Κεφ. XIX (15). Προσέτι δέ που τετάρων ἐντυχὼν ἐνταῦθά μοι ὁ Πρωτεσίλεως, ἐκ Πόντου μὲν ἥκειν ἔφη· νεὼς γὰρ ἐπιτυχών, πλεῦσαι παρὰ τὸν Ἀχιλλέα, ξένῳ εἰκασθείς, ταυτὶ δὲ θαμὰ πράττειν. Ἥρως δὲ ὑπόδουλος, ὡς φιλέταιρός τε καὶ

(ἀκολουθεῖ)

χρηστὸς εἴη φίλων τὸν Ἀχιλλέα· ἀλλὰ νῦν, ἔφη, διενεχθεὶς αὐτῷ ἤειν. Θετταλοῦ γὰρ ὑπὸ τῶν ἐναγισμάτων μηνίοντα αἰσθόμενος, ἐμοί, ἔφην, ὦ Ἀχιλλεῦ, πείθου τούτοις. ὁ δ' οὐ πείθεται, φησὶ δ' αὐτοῖς κακόν τι ἐκ θαλάττης δώσειν.

Κεφ. XIX (20) Φοῖνιξ. Ὅστις, Ἀμπελουργέ, μὴ θεοφιλῆ σε ἡγεῖται, σφόδρα αὐτὸς ἀπήχθηται τοῖς θεοῖς. τὸ γὰρ τοιούτους περὶ θείους λόγους εἰδέναι οὕτω, παρ' ἐκείνων σοι ἥκειν οἴμαι, οἳ καὶ τὸν Πρωτεσίλεω φίλον τέ σε καὶ ἐπιτήδειον ἐποίησαν.

Ἀλλ' ἐπειδὴ τὴν ἡρωικὴν ἡμᾶς λόγων ἐνέπλησας, τὸ μὲν ὅπως αὐτὸς ἀναβεβίωκεν, οὐδ' εἰ ἂν ἐροίμην, ἐπειδὴ βεβαιοῖ περὶ ἀπορρήτων φῂς αὐτὸν χρῆσθαι τούτῳ τῷ λόγῳ.

Τοὺς δὲ Κωκυτούς τε καὶ Πυριφλεγέθοντας, καὶ τὴν Ἀχερουσιάδα, καὶ τὰ τοιαῦτα τῶν ποταμῶν τε καὶ τῶν λιμνῶν ὀνόματα, καὶ νὴ Δία τοὺς Αἰακούς, καὶ τὰ τούτων δικαστήρια καὶ δικαιωτήρια, αὐτός τε ἴσως ἀπαγγέλλει, καὶ ξυγχωρεῖ διηγεῖσθαι.

Ἀμπελουργός. Ξυγχωρητέα, ἑσπέρα δὲ ἤδη, καὶ βοῦς προσαναπαύειν. Τὰ γὰρ ξυνάγεια ὁρᾷς ὡς ἐκ βουλυτοῦ ἤδη, καὶ χρή με αὐτὰ ὑποδέξασθαι, καὶ ὁ λόγος πλείων τοῦ καιροῦ. Καὶ σὺ μὲν σὺ ἐπὶ τὴν ναῦν χαίρων ἴθι, πάντα ἔχων, ὁπόσα ὁ κῆπος φέρει.

Κἂν μὲν τὸ πνεῦμα ὑπήκοον, πλεῦσαι, σπείσας ἀπὸ τῆς νεὼς τῷ Πρωτεσίλεῳ· τουτὶ γὰρ τοὺς ἐνθένδε ἐλάοντας νενόμισται πράττειν. εἰ δ' ἐναντίον εἴη τὸ πνεῦμα, χώρει δεῦρο ἅμα ἡλίῳ ἀνίσχοντι, καὶ τεύξῃ ὧν βούλει.

Φ. Πείθομαί σοι, Ἀμπελουργέ, καὶ οὕτως ἔσται. Πλεύσαιμι δὲ μήπω Πόσειδον, πρὶν ἢ καὶ τοῦδε ἀκροάσασθαι τοῦ λόγου.

ΤΕΛΟΣ.

(ἀκολουθεῖ)

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Κεφ. II (20) Δίειμι γάρ σοι καθ' ἕνα τοὺς ἥρως, ἀπαγγέλλων ὅσα τοῦ Πρωτεσίλεω περὶ αὐτῶν ἤκουσα.

Κεφ. II (19) Φοίνιξ. Πῶς οὖν ὁ Πρωτεσίλεως περὶ τοῦ Ὁμήρου φρονεῖ; βασανίζειν γάρ που αὐτὸν ἔλεγες τὰ τούτου ποιήματα.

Ἀ. Τὸν Ὅμηρον φησί, ξένε, καθάπερ ἐν ἁρμονίᾳ μουσικῇ πάντας ᾆσαι τοὺς ποιητικοὺς τῶν τρόπων ... Μέμφεται δὲ τοῦ Ὁμήρου ἐκεῖνα· ὅτι θεοὺς ἐγκαταμίξας ἀνθρώποις, περὶ μὲν τῶν ἀνθρώπων μεγάλα εἴρηκε, περὶ δὲ τῶν θεῶν μικρὰ καὶ φαῦλα. ΚΤΛ.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ